Ἀθηναίους. καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων. ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν αἰτωλικὸν πόλεμον γινομένης. ἔστι δὲ καὶ παράγωγος ἀπὸ τοῦ ἀλιτραίνειν ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ τὸ ἀλιτηρίων καὶ ἀντὶ τοῦ ἀστοχησάντων καὶ ἀποτυχόντων. Τῶν Βυρσίνης.] ἔπαιξε παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα. καὶ παρὰ τὸ τυράννου ὄνομα τοῦ Ἱππίου. εἴπερ τῷ ὀνόματι τοῦ Ἱππίου περιεργότερον ἐχρήσατο. δῆλον μὲν γὰρ καὶ
B ἐκ τῶν προειρημένων οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τούτων, ὅτι μὴ αὐτὸς ὁ Ἱππίας κατέστησε τὴν τυραννίδα, ἀλλὰ παρὰ τοῦ πατρὸς ἅμα τοῖς ἀδελφοῖς παρέλαβε τοῦ Πεισιστράτου. οὐ πάντως ἂν ἐμνημόνευσεν, εἰ μὴ χρησιμώτερον τὸ ὄνομα τοῦ Ἱππίου πρὸς τὸ συνάψαι τῇ Βυρσίνῃ κατεφαίνετο. οὐκ ἄδηλόν ἐστι διαβάλλοντος τοῦ Κλέωνος αὐτὸν ὡς τῶν ἀλιτηρίων γεγονέναι, τῶν ἐπιβουλευσάντων

A τῇ πόλει καὶ τοῖς τυράννοις συναραμένων. ἄλλως. Πεισιστράτου γυνὴ γέγονεν ἡ Μυρρίνη, Ἱππίου καὶ Ἱππάρχου μήτηρ. Βυρσίνην οὖν εἶπεν, ἀντὶ τοῦ Μυρρίνην. ὡς βυρσοπώλην πάλιν κωμῳδεῖ τὸν Κλέωνα. ταύτην ὁ Πεισίστρατος ὁπότε κατήγαγεν εἰς Ἀθήνας, ἔφασκεν Ἀθηνᾶν εἶναι βουλόμενος τυραννεῖν. Κόβαλος εἶ.] προειρήκαμεν ὅτι τοὺς μετὰ ξύλου λῃστὰς, οὕτως ἐκάλουν οἱ παλαιοί. Ἰού.] τοῦτο παρεπιγραφή. τυπτόμενον γὰρ ὑποκρίνεται. Ξυνωμόται.] οἱ ἀνταράται. οἱ προδόται. οἱ τὰ αὐτὰ κατ' ἐμοῦ συνθέμενοι φρονεῖν. Παῖ αὐ-
B τόν.] ἰστέον ὅτι ὁ χορὸς ταῦτα τῷ ἀλλαντοπώλῃ παρακελεύεται. ἀστείως δὲ διὰ τὴν ἐκείνου τέχνην εἴς τε τὰ ἔντερα καὶ τὸν κόλον αὐτὸν τύπτειν κελεύει. μάλιστα γὰρ ἡ τῶν ἀλλαντοπωλῶν ἐκ τούτων συνέστησε τέχνη. Κόλα τὸν ἄνδρα.] κολούσεις καὶ παύσεις καὶ ταπεινώσεις. ἀπὸ δὲ τοῦ κόλου καὶ ἐντέρων, τὴν λέξιν ἐποίησεν. ἴσως δὲ καὶ αὐτὸν τύπτουσιν.

---

BISETVS. Σύστημα C στίχων δ'.

Χο. Ὦ γεννικώτατον κρέας, ψυχήν τε ἀρίστε πάντων,
Καὶ τῇ πόλει σωτὴρ φανεὶς, ἡμῖν τε τοῖς πολίταις,
Ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν,
Πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως, ὥσπερ ἡδόμεσθα;

*CH. O Generosissimum corpus, animóque praepotenti*
*Vir optime, seruator tum ciuium, tum ciuitatis.*
*Quàm captiosis verbis huius viri animum subisti?*
D *Quomodo te praedicemus ita, vt volumus animo lubenti?*

Σχόλια. Ὦ γεννικώτατον.] ἰσχυρότατον. παίζων κρέας αὐτὸν λέγει. ἐκ μεταφορᾶς τῶν ἰσχυρῶν κρεῶν ἃ οὐ κατεργάζεται πυρί. Ὡς εὖ.] ἐπιτηδείως αὐτὸν καὶ ὑπούλως διὰ τῶν λόγων ἐνίκησας τῶν σῶν.

---

BISETVS. Σύστημα στίχων λζ'.

E Κλ. Ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανε
Τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
Γομφούμενά γε τὰ πάντα καὶ κολλώμενα.
Χο. Οἴμοι, σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις.
Ἀλλ. Οὔκουν μ' ἐν Ἄργει οἷα πράττεις λανθάνει.
Πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ.
Ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίνεται,

*CL. Hoc ita geri negocium, me neutiquam*
*Latebat: sed sciebam haec iampridem omnia*
*Compacta clauis, & conglutinata iam.*
*CH. Eheu, nihil tu loqueris è plaustrario.*
*AG. Atqui haud latet me, quid in Argolide feceris:*
*Equidem Argiuos amicos praetendis: at ibi*
F *Priuatim cum Lacedaemonis conuentum agis.*

Σχόλια. Ἀλλ' ἠπιστάμην.] ὑψηλὸς ὢν καὶ μεγαλόφωνος ὁ Κλέων, πολυτρόποις λόγοις κέχρηται. Γομφούμενα.] σφηνούμενα. γόμφοι γὰρ, οἱ σφῆνες οἱ συνείροντες τὰς σανίδας καὶ συναρμονιοῦντες καὶ συνέχοντες.

BISET. Γομφούμενα] Γόμφος, ὁ ἧλος ᾧ αἱ σανίδες συνείρονται. μεταφορικῶς δὲ τὸ στερεὸν, καὶ οὐκ εὐμετάβολον, ὅθεν καὶ τὸ γομφοῦν τὸ στερεοῦν, καὶ κυροῦν, Αἰσχύλος ἐν Ἱκέτισι,
Ψῆφος κέκρανται μήποτ' ἐκδοῦναι βίᾳ
Στόλον γυναικῶν τῶν δ' ἐφήλωται τορῶς
Γόμφος διαμπὰξ, ὡς μένειν ἀραρότως.

Σχόλια. Ἐξ ἁμαξουργοῦ.] ἁμαξουργοὺς Ἀττικοὶ τοὺς ἀγριοπηγοὺς εἶδος δὲ ἀγριοπηγοὶ, τεκτόνων. οἳ τὰς ἁμάξας τεκταίνουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. ἐπειδὴ δὲ ὁ Κλέων τεκτονικοῖς ὀνόμασι πᾶσιν ἐχρήσατο, τεκταινόμενα εἰπὼν καὶ γομφούμενα, ὁ δὲ ἀλλαντοπώλης οὐκ ἀπὸ τεκτονικῆς ἀπαντᾷ, ὁ χορὸς ὥσπερ δέδοικε μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος, καὶ ἀσχάλλει καὶ δυσφορεῖ, ὅτι οὐδὲν ἀντέθηκε τοιοῦτον ῥῆμα.

BISETVS. Ἁμαξουργοῦ.] Εὐστάθιος, ἅμαξα, παρὰ τὸ ἄγειν τὰ ἀμώμενα, ἤγουν θεριζόμενα, ἢ καὶ ψιλοῦται. ἢ παρὰ τὸ ἅμα, καὶ τὸ ἄξων, καὶ οὕτω δασύνεται Ἀττικῶς. Ἰωνικῶς δὲ ψιλοῦται.

Σχόλια. Οὔκουν μ' ἐν Ἄργει.] παρὰ τὸν πόλεμον τὸν
G Πελοποννησιακόν. καίτοι πρότερον ἐχθροὶ ὄντες τοῖς Ἀργείοις οἱ Ἀθηναῖοι διὰ τὴν πρὸς Λακεδαιμονίους ἀπέχθειαν, ἔδοξαν αὐτοῖς γενέσθαι φίλοι. φησὶν οὖν ὅτι Κλέων ἐπὶ βλάβῃ τῆς πόλεως τὴν Ἀργείων φιλίαν προξενῶν, οὐ λανθάνει με σπείσασθαι πρὸς τοὺς Ἀργείους πείθων τὴν πόλιν παρρησίαν εἰς τὸ συγγενέσθαι τοῖς Λακεδαιμονίοις ἑαυτῷ περιποιούμενος.